# Badische Landesbibliothek Karlsruhe

**Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe**


# Demosthenes, Luciano, Plutarchi, Platonis - Cod. Karlsruhe 1632


**Melanchthon, Philipp**



**[S.l.], 1522-1524**


[Lucianus], iudicium vocalium


urn:nbn:de:bsz:31-303159



Visual Library

45

# IVDITI-
# VM VOCALI
# VM LVTI-
# ANI

Lypsiæ in ædibus
Valētini Schumā.

An. M.D.XXIII.

Lypsie
Achillis P: Gassery L:
1523

BLB BADISCHE LANDESBIBLIOTHEK
Baden-Württemberg

## ΔΙΚΗ ΦΩΝΗΕΝΤΩΝ.

Ἐπὶ ἄρχοντος Ἀριστάρχου φαληρέως πυ-
ανεψιῶνος ἑβδόμῃ ἱσταμένου γραφὴν ἔθ-
ετο τὸ σίγμα πρὸς τὸ ταῦ,
ἐπὶ τῶν ἑπτὰ φωνηέν-
των βίας ὑπαρχόν-
των καὶ ἁρπαγῆς,
ἀφῃρῆσθαι λέγον
πάντων τῶν
ἐν διπλῷ
ταῦ ἐκφε-
ρομέ-
νων.

Μέχρι μὲν ὦ φωνήεντα δικασταὶ ὀλίγα
ἠδικούμην ὑπὸ τουτουῒ τοῦ. ταῦ καταχ-
ρωμένου τοῖς ἐμοῖς καὶ καταίροντος ἔνθα μὴ
δεῖ, οὐ βαρέως ἔφερον τὴν βλάβην, καὶ πα-
ρήκουον ἔνια τῶν λεγομένων ὑπὸ τῆς μετριότη-
τος, ἥν ἴστε με φυλάσσοντα πρός τε ὑμᾶς. καὶ
τὰς ἄλλας συλλαβάς. ἐπεὶ δὲ ἐς τοσοῦτον
ἥκει πλεονεξίας καὶ ἀνοίας ὥστε ἐφ᾽ οἷς ἡσύχα-
σα πολλάκις οὐκ ἀγαπῶν ἤδη καὶ πλείω πρ-
ος βιάζεται, ἀναγκαίως αὐτὸν εὐθύνω νῦν πα-
ρὰ τοῖς ἀμφότερα εἰδόσιν ὑμῖν, δέος δὲ οὐ
μικρόν με ἐπὶ τῆς ἀποθλίψεως ἐπέρχεται τῆς
ἐμαυτοῦ. τοῖς γὰρ προπεπραγμένοις ἀεί τι
μεῖζον προστιθεὶς, ἄρδην με τῆς οἰκείας ἀποθλ-
ίψει χώρας. ὡς ὀλίγου δεῖν ἡσυχίαν ἀγαγόντα, μὴ δὲ
ἐν γράμμασι ἀριθμεῖσθαι, ἐν ἴσῳ δὲ κεῖσθαι τοῦ ~~ψόφου~~ φόβου
δίκαιον οὖν οὐχ ὑμᾶς οἱ δικάζετε νῦν, ἀλλὰ καὶ
τὰ λοιπὰ γράμματα τῆς πείρας ἔχειν τινὰ φυ-

λακήν, εἰ γὰρ ἐξέσται τοῖς βουλομένοις ἀπὸ τῆς
καθ᾽ αὐτὰ τάξεως εἰς ἀλλοτρίαν βιάζεσθαι καὶ τοῦ-
το ἐπιτρέψετε ὑμεῖς, ὧν χωρὶς οὐδὲν καθόλου
τι γράφεται, οὐχ ὁρῶ τίνα τρόπον αἱ συντάξεις
τὰ νόμιμα, ἐφ᾽ οἷς ἐτάχθη τὰ κατ᾽ ἀρχὰς ἕξου-
σιν. ἀλλ᾽ οὔτε ὑμᾶς οἶμαι ποτὲ εἰς τοσοῦτον ἀ-
μελείας τε καὶ παροράσεως ἥξειν, ὥστε ἐπιτρέψ-
αι τινὰ μὴ δίκαια. οὔτε (εἰ καθυφήσετε τὸν ἀγῶ-
να ὑμεῖς) ἐμοὶ παραλειπτέον ἐστὶν ἀδικουμένῳ.
ὡς εἴθε καὶ τῶν ἄλλων ἀνεκόπησαν τότε αἱ τόλ-
μαι, εὐθὺς ἀρξαμένων παρανομεῖν. καὶ οὐκ ἂν ἐπο-
λέμει μέχρι νῦν τὸ λάμβδα, τῷ ῥῶ διαμφισβητοῦν
τῶν περὶ τῆς κισήρεως. καὶ κεφαλαλγίας. οὔτε
τὸ γάμμα τῷ κάππα διηγωνίζετο, καὶ ἐς χεῖ-
ρας μικροῦ δεῖν ἤρχετο πολλάκις ἐν τῷ κναφείῳ
ὑπὲρ γναφάλλων. ἐπέπαυτο δ᾽ ἂν καὶ πρὸς τὸ λά-
μβδα, μαχόμενον. τὸ, μόγις ἀφαιρούμενον
αὐτοῦ καὶ μάλιστα παρακλέπτον. καὶ τὰ λοιπὰ δ᾽ ἂν

Λ Ρ

Γ Κ

τρέμει συγχύσεως ἄρχεσθαι παρανόμου. καλὸν γὰρ ἕκαστον μένειν ἐφ' ἧς τετύχηκε τάξεως. τὸ δὲ ὑπερβαίνειν ἐς ἃ μὴ χρὴ, λύοντός ἐστι τὸ δίκαιον. καὶ ὅστε πρῶτος ἡμῖν τοὺς νόμους τούτους διατυπώσας, εἴτε Κάδμος ὁ νησιώτης, εἴτε Παλαμήδης ὁ Ναυπλίου, καὶ Σιμωνίδῃ δὲ ἔνιοι προσάπτουσι τὴν προμήθειαν ταύτην, οὐ τῇ τάξει μόνον καθ' ἣν αἱ προεδρεῖαι βεβαιοῦνται, διώρισαν τί πρῶτον ἔσται, ἢ δεύτερον, ἀλλὰ καὶ ποιότητας, ἃς ἕκαστον ἡμῶν ἔχει, καὶ δυνάμεις συνεῖδον. καὶ ὑμῖν μὲν ὦ δικασταὶ, τὴν μείζω δεδώκασι τιμὴν, ὅτι καθ' αὑτὰ δύνασθε φθέγγεσθαι. ἡμιφώνοις δὲ τὴν ἐφεξῆς, ὅτι προσθήκης εἰς τὸ ἀκουσθῆναι δεῖται. πασῶν δὲ ἐσχάτην ἐνόμισαν ἔχειν μοῖραν ἔνια τῶν πάντων, οἷς οὐδὲ φωνὴ πρόσεστι. καθ' αὑτὰ μὲν οὖν τὰ φωνήεντα φυλάσσειν ἔοικε τοὺς νόμους τούτους. τὸ δὲ ταῦ τοῦτο, οὐ γὰρ ἔχω αὐτὸ χείρονι ὀνομάσαι ῥήματι. ἢ ᾧ κα

λεῖται ὀνόματα πρὸς θεοὺς εἰ μὴ ἐξ ὑμῶν δύο συνῆλθον ἀγαθοί, καὶ καθήκοντες ὁραθῆναι, τό τε ἄλφα καὶ τὸ. υ. οὐκ ἂν ἠκούσθη μόνον τοῦτο οὖν ἐτόλμησεν ἀδικεῖν με πλείω τῶν πώποτε, βιασάμενον ὀνομάτων με, καὶ ῥημάτων ἀπελᾶσαι πατρῴων, ἐκδιῶξαι δὲ ὁμοῦ συνδέσμων ἅμα καὶ προθέσεων, ὡς μηκέτι φέρειν τὴν ἔκτοπον πλεονεξίαν, ὅθεν δὲ καὶ ἀπό τινων ἀρξάμενον, ὥρα λέγειν. Ἐπεδήμουν ποτὲ Κυβέλῳ. τὸ δέ ἐστι πολίχνιον οὐκ ἀηδές, ἄποικον, ὡς ἐπέχει λόγος, Ἀθηναίων. ἐπηγόμην δὲ καὶ τὸ κράτιστον. ῥῶ, γειτόνων τὸ βέλτιστον, κατηγόμην δὲ παρὰ κωμῳδιῶν τινι ποιητῇ. (Λυσίμαχος ἐκαλεῖτο.) Βοιώτιος μὲν ὡς ἐφαίνετο, τὸ γένος ἀνέκαθεν, ἀπὸ μέσης δὲ ἀξιοῦντι λέγεσθαι τῆς Ἀττικῆς. παρὰ τούτῳ δὴ τῷ ξένῳ τὴν τοῦ. ταῦ. τούτου πλεονεξίαν ἐφώρασα. μέχρι μὲν γὰρ ὀλίγοις ἐπεχείρει τετταράκοντα λέγειν

ybelo Colonia
ra ma
uxta superiore consequentiaz vt genealogiam
/οσ Alias legit
=ττ

sibi mancipat
τεσσαράκοντα

ἀποστερουμένῳ μετὰ τῶν συγγεγενημένων μοι, συνή-
θειαν ῥημάτων συντεταγμένων γραμμάτων, ἔτι
δὲ ἥμερον καὶ τὰ ὅμοια ἐπισπώμενον, ἴδια
ταυτὶ λέγειν καὶ οἰστὸν ἦν μοι τὸ ἄκουσμα,
καὶ οὐ πάνυ τι ἐδακνόμην ἐπ' αὐτοῖς. ὁπότε δὲ
καὶ ἐκ τούτων ἀρξάμενον ἐτόλμησε καττίτερον
εἰπεῖν, καὶ κάττυμα, καὶ πίτταν, εἶτα ἀπερυ-
θριάσαν, καὶ βασίλιτταν ὀνομάζειν, οὐ μετρί-
ως ἐπὶ τούτοις ἀγανακτῶ, καὶ πίμπραμαι, δε-
διὼς μὴ τῷ χρόνῳ καὶ τὰ σῦκα τῦκά τις ὀνομά-
σῃ. καί μοι πρὸς Διὸς ἀθυμοῦντι, καὶ μεμο-
νωμένῳ τῶν βοηθησόντων σύγγνωτε τῆς δικαί-
ας ὀργῆς. οὐ γὰρ περὶ τὰ μικρὰ καὶ τὰ τυχ-
όντα ἐστὶν ὁ κίνδυνος, ἀφαιρουμένῳ τῶν συνήθων
καὶ συνεσχολακότων μοι γραμμάτων. κίσσαν
μου λάλον ὄρνεον ἐκ μέσων, ὡς ἔπος εἰπεῖν
, τῶν κόλπων ἁρπάσαν, κίτταν ὠνόμασεν. ἀ-
φείλετο δέ μου φάσσαν ἅμα νήσσαις τε καὶ κο-

*Iudex iratus Aristarchus*

σόφοις, ἀπαγορεύοντος Ἀριστάρχου. περίεσπα-
σε δὲ καὶ μελιτῶν οὐκ ὀλίγας. ἐπὶ Ἀττικὴν δὲ
ἦλθε· τὸ ἐκ μέσης αὐτῆς ἀνήρπασεν ἀνόμως ὑ-
μηττόν, ὁρώντων ὑμῶν, καὶ τῶν ἄλλων συλλα-
βῶν. ἀλλὰ τί λέγω ταῦτα, Θεσσαλίας με ἐξέ-
βαλεν ὅλης, Θετταλίαν ἀξιοῦν λέγειν, καὶ πᾶ-
σαν ἀποκέκλεικέ μοι τὴν θάλασσαν, οὐδὲ τῶν
ἐν κήποις φεισάμενον σεύτλων, ὥστε τὸ δὴ λε-
γόμενον, μηδὲ πάσσαλόν μοι καταλειπεῖν.
ὅτι δὲ ἀνεξίκακόν εἰμι γράμμα, μαρτυρεῖτέ
μοι καὶ αὐτοὶ μηδέποτε ἐγκαλέσαντι τῷ ζῆτα,
σμάραγδον ἀποσπάσαντι, καὶ πᾶσαν ἀφελο-
μένῳ τὴν σμύρναν. μήτε τῷ ξῦ, πᾶσαν πα-
ραβάντι συνθήκην, καὶ τὸν συγγραφέα τῶν τοιού-
των ἔχοντι Θουκυδίδην σύμμαχον. τῷ μὲν γὰρ
γείτονί μου ῥῶ νοσήσαντι, συγγνώμη καὶ παρ'
αὐτῷ φυτεύσαντί μου τὰς μυρσίνας, καὶ παί-
σαντί με ποτὲ ὑπὸ μελαγχολίας ἐπὶ κόρρης.

*Adag: = pulvisculo*

*Smyrna sd Zutitto id qd alludit hic*

*interdicente; inique; dignū putans; exclusit; hortis; parcens; beta; tolerans; accusanti; foedus; historiam; auxiliarium; egrotanti; venia; plantasset; myrtus; percussisset*

κἄγω μὲν τοιοῦτον. τὸ δὲ ταῦ. τοῦτο, σκοπῶμεν ὡς φύσει βίαιον καὶ πρὸς τὰ λοιπά. ὅτι δὲ οὐδὲ τῶν ἄλλων ἀπέσχετο γραμμάτων, ἀλλὰ καὶ τὸ δέλτα, καὶ τὸ θῆτα, καὶ τὸ ζῆτα, μικροῦ δεῖν πάντα ἠδίκησε τὰ στοιχεῖα, αὐτά μοι κάλει τὰ ἀδικηθέντα γράμματα. ἀκούετε φωνήεντα δικασταί, τοῦ μὲν. Δ. λέγοντος, ἀφείλετό μου τὴν ἐνδελέχειαν, ἐντελέχειαν ἀξιοῦν λέγεσθαι παρὰ πάντας τοὺς νόμους, τοῦ θῆτα κρούοντος. καὶ τῆς κεφαλῆς τὰς τρίχας τίλλοντος ἐπὶ τῷ καὶ τῆς κολοκύνθης ἐστερῆσθαι. τοῦ ζῆτα, τὸ συρίζειν, καὶ σαλπίζειν, ὡς μηκέτ' αὐτῷ ἐξεῖναι μηδὲ γρύζειν, τίς ἂν τούτων ἀνάσχοιτο, ἢ τίς ἐξαρκέσειε δίκη πρὸς τὸ πονηρότατον τουτὶ ταῦ. τὸ δὲ, ἆρα οὐ τὸ ὁμόφυλον τῶν στοιχείων μόνον ἀδικεῖ γένος, ἀλλ' ἤδη καὶ πρὸς τὸ ἀνθρώπειον μεταβέβηκε, τουτονὶ τὸν τρόπον, οὐ γὰρ ἐπιτρέπει γε αὐτοὺς κατ'

ἐυθὺ φέρεσθαι ταῖσ γλώσσαις. μᾶλλον δὲ ὦ δικασταί, μεταξὺ γάρ με πάλιν τὰ τῶν ἀνθρώπων πράγματα ἀνέμνησε περὶ τῆς γλώσσης. ὅτι καὶ ταύτης με τὸ μέρος ἀπήλασε, καὶ γλῶτταν ποιεῖ τὴν γλῶσσαν. ὢ γλώσσησ ἀληθῶς νόσημα, ταῦ. ἀλλὰ μεταβήσομαι πάλιν ἐπ' ἐκεῖνο. καὶ τοῖσ ἀνθρώποις συναγορεύσω ὑπὲρ ὧν εἰσ αὐτοὺς πλημμελεῖ. δεσμοῖς γάρ τισι. στρεβλοῦν καὶ σπαράττειν αὐτῶν τὴν φωνὴν ἐπιχειρεῖ. καὶ ὁ μέν τι καλὸν ἰδὼν καλὸν εἰπεῖν βούλεται. τὸ δέ, παρεισπεσόν, ταλὸν εἰπεῖν αὐτοὺσ ἀναγκάζει, ἐν ἅπασι προεδρίαν ἔχειν ἀξιοῦν. πάλιν ἕτερος περὶ κλήματος διαλέγεται τὸ δέ, τλῆμον γάρ ἐστιν ἀληθῶσ, τλῆμα πεποίηκε τὸ κλῆμα. καὶ οὐ μόνον γε τοὺς τυχόντας ἀδικεῖ, ἀλλ' ἤδη καὶ τῷ μεγάλῳ βασιλεῖ ᾧ καὶ γῆν καὶ θάλασσαν εἶξαι φασί, καὶ τῆς αὐτῶν φύσεως ἐκστῆναι, τὸ δὲ καὶ τούτῳ ἐπι-

βουλεύει. καὶ κῦρον αὐτὸν ὄντα, τῦρόν τινα ἀπέφηνεν. οὕτω μὲν οὖν ὅσον ἐς φωνὴν ἀνθρώπους ἀδικεῖ, ἔργῳ δὲ πῶς, κλάουσιν ἄνθρωποι, καὶ τὴν αὐτῶν τύχην ὀδύρονται, καὶ κάδμῳ καταρῶνται πολλάκις, ὅτι τὸ. ταῦ. ἐς τὸ τῶν ςοιχείων γένος παρήγαγε. τῷ γὰρ τούτου σώματι φασὶ τοὺς τυράννους ἀκολουθήσαντας, καὶ μιμησαμένους αὐτοῦ τὸ πλάσμα, ἔπτα σχήματι τοιούτῳ ξύλα τεκτήναντας ἀνθρώπους ἀνασκολοπίζειν ἐπ᾽ αὐτά. ἀπὸ δὴ τούτου καὶ τῷ τεχνήματι τῷ πονηρῷ τὴν πονηρὰν ἐπωνυμίαν συνελθεῖν. τούτων οὖν ἁπάντων ἕνεκα, πόσων θανάτων τὸ. ταῦ. ἄξιον εἶναι νομίζετε, ἐγὼ μὲν γὰρ οἶμαι δικαίως τοῦτο μόνον ἐς τὴν τοῦ. ταῦ. τιμωρίαν ὑπολείπεσθαι, τὸ τῷ σχήματι τῷ αὐτοῦ τὴν δίκην ὑποσχεῖν. ὃ δὴ ς ταυρὸς ὑπὸ τούτου μὲν ἐδημιουργήθη, ὑπὸ δὲ ἀνθρώπων ὀνομάζεται.

τέλος τῆς δίκης φωνηέντων.

Lucianus petulantiss: Christianos irrisisset atque
adeo pestilentissimis tribulat conuicijs, Chri-
stum et dominum nostrum Crucifixum notans sophistam
cuius e praescripto nos uiuere ridiculum censet
uide Celium li:5: ca: 38: